eul_wid: cps-aa

*Νεόφρων ὁ Σικυώνιος* · Neophron of Sicyon

# Medea's Revenge Fragments

*Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (dr, frg)
**Domain:** *Δρᾶμα* Drama
**Format:** *Ἔμμετρος* Verse

book 1.1 [spk_αιγευς]ΑΙΓΕΥΣ· καὶ γάρ

book 1.2 τιν’ αὐτὸς ἤλυθον λύσιν μαθεῖν

book 1.3 σοῦ· Πυθίαν γὰρ ὄσσαν, ἣν ἔχρησέ μοι

book 1.4 Φοίβου

book 1.5 πρόμαντις, συμβαλεῖν ἀμηχανῶ· σοὶ δ’ εἰς λόγους μολὼν ἂν ἤλπιζον μαθεῖν

book 2.1 [spk_μηδεια]〈ΜΗΔΕΙΑ·〉 εἶέν· τί δράσεις, θυμέ; βούλευσαι καλῶς

book 2.2 πρὶν ἐξαμαρτεῖν καὶ τὰ προσφιλέστατα ἔχθιστα θέσθαι. ποῖ ποτ’ ἐξῇξας τάλας; κάτισχε λῆμα καὶ σθένος θεοστυγές.[ln_5]καὶ πρὸς τί ταῦτα δύρομαι, ψυχὴν ἐμὴν ὁρῶς’ ἔρημον καὶ παρημελημένην

book 2.3 πρὸς ὧν ἐχρῆν ἥκιστα; μαλθακοὶ δὲ δή τοιαῦτα γιγνόμεσθα πάσχοντες κακά; οὐ μὴ προδώσεις, θυμέ, σαυτὸν ἐν κακοῖς;[ln_10]οἴμοι, δέδοκται· παῖδες, ἐκτὸς ὀμμάτων ἀπέλθετ’· ἤδη γάρ με

book 2.4 φοινία μέγαν δέδυκε λύσσα θυμόν. ὦ χέρες χέρες, πρὸς οἷον ἔργον ἐξοπλιζόμεσθα· φεῦ, τάλαινα τόλμης, ἣ πολὺν πόνον βραχεῖ[ln_15]διαφθεροῦσα τὸν ἐμὸν ἔρχομαι

book 2.5 χρόνῳ

book 3.1 ΜΗΔΕΙΑ (πρὸς Ἰάσονα)·[ln_1]τέλος φ〈θ〉ερεῖς γὰρ αὐτὸν αἰσχίστῳ μόρῳ δέρη βροχωτὸν ἀγχόνην ἐπισπάσας. τοία

book 3.2 σε μοῖρα σῶν κακῶν ἔργων μένει, δίδαξις ἄλλοις μυρίας ἐφ’ ἡμέρας[ln_5]θεῶν ὕπερθε μήποτ’ αἴρεσθαι βροτούς